§. τμϛ΄. Οὐδὲν οὖν, ὃ μέρος ὁπωσοῦν καθίσταται τῆς προτάσεως ἄλλο ῥῆμα, κυρίως σύνδεσμος ἔσται, εἰ μηδὲ τὸ ΕΣΤΙ τοιοῦτον, ὁπότε ὕπαρξιν κατηγορῶν τοῦ ὑποκειμένου, ὡς μέρος ἐν αὐτῇ κεῖται (§. ανωτ.). Ταύτῃ τοι καὶ τῆς συνδεσμικῆς τοῦ προσκατηγορουμένου δυνάμεως ἀκριβῆ τὴν ἔννοιαν οὐκ ἐοίκασιν (1) ἐσχηκέναι, οἱ τὸ ἔχειν, καὶ τὸ δεῖν, ἢ ὀφείλειν, ἢ ποιεῖν, ἢ σκοπεῖν, κλ., τοῦ προσκατηγορήματος, ΕΣΤΙ, τὴν χρείαν ἔντισι προτάσεσιν ὑπειληφότες πληροῦν, καὶ διδάξαντες. Ἐπὶ γὰρ ἐκείνων ἑκάστου. οὐχ ἁπλῶς ἡ σύνδεσις θεωρεῖται, ἀλλὰ καὶ τρόπος τις τοῦ κατηγορουμένου συνεμφαίνεται, καθ᾽ ὃν τῷ ὑποκειμένῳ συνάπτεται, ἤτοι ὡς σχέσιν ἔχον, οἷον ὁ Πατὴρ ἔχει υἱόν· ἢ ὡς κτῆμα ἐκείνου ὄν, οἷον ἔχει οἶκον, ἢ ὡς ὀφειλόμενον αὐτῷ, οἷον ὁ προϊστάμενος τῶν ὑπὸ χεῖρα προνοεῖν ὀφείλει· ἢ ὡς ἀποτέλεσμα αὐτοῦ, οἷον ἡ κίνησις θερμότητα γεννᾷ· ἢ ὡς τέλος, οἷον ὁ περιαυτολογῶν εἰς δόξαν βλέπει. Ἐν

„αὐτόθεν τοῦ ὑποκειμένου κατηγορῆται, „ὡς ἐνέργειαν, ἢ πάθος, ἢ ἁπλῶς ὕ„παρξιν, ἢ ἀνυπαρξίαν τοῦ ὑποκειμένου „σημαῖναι ὀφεῖλον, ἀλλ᾽ ἕνεκα τοῦ συν„αρμόσαι τὸ κατηγορούμενον τῷ ὑπο„κειμένῳ παραλαμβάνεται. Ἀμμών. εἰς τὸ περὶ Ἑρμ.

(1) Ὅτι τῷ ΕΣΤΙ μόνῳ τὸ τοῦ Συνδέσμου ἔργον ἄχρι τούτου κεκλήρωται, οὐκ ἐπαινεῖ ὁ νεώτερος Ῥιδιγέρος. (Ἐν τῷ περὶ Αἰσθ. Ἀληθ. καὶ ψεύδ. Βιβ. Β. Κεφ. Α. Σημ. §. 12.) Ἀλλὰ καὶ δεινοπαθοῦντι ὅμοιος, ὅτι ἐντεῦθεν (φησὶ) καὶ Λογικὴ, καὶ αἱ λοιπαὶ τῶν Ἐπιστημῶν, ὑπὸ τῇ τυραννίδι τοῦ Ἀριστοτελισμοῦ τετρύχωνται. Ἀμέλει τοι τῶν μὲν ἐκ Μεταφυσικῆς (ὡς αὐτὸς) ἀφαιρέσεως προτάσεων, ἐν αἷς γένος, ἢ διαφορὰ, κτ. τὸ κατηγορούμενον, Σύνδεσμος ἐστὶν ὁ ΕΣΤΙ, καὶ τὰ τούτῳ συνώνυμα· τῶν δὲ ἐκ Μαθηματικῆς, τὸ περιέχει, τὸ συμπληροῖ, τὸ ἐξισοῦται, τὸ ἐστιν ἄνισον, ὅλον, μέρος, ἥμισυ, καὶ τὰ ὅμοια. Τῶν δὲ ἐξ Ἠθικῆς, ἐπὶ μὲν τοῦ κατὰ τὸ δίκαιον, τὸ ὀφείλει, καὶ τὰ συνώνυμα· ἐπὶ δὲ τοῦ κατὰ φρόνησιν, ἐὰν μὲν περὶ τῶν μέσων ὁ λόγος, τὸ καθήκει, καὶ τὰ τοιαῦτα. Ἐὰν δὲ περὶ τοῦ τέλους τὸ βούλεται, καὶ τὰ παραπλήσια. Τέως δὲ τῶν ἐκ τῆς Φυσικῆς, τὸ ποιεῖ, ἢ παράγει, τὸ γεννᾷ κτ. τὰ μὲν δηλ. ἐπὶ τῆς ἁπλῶς ὑπάρξεως, καὶ ἐπὶ τῶν ὁμωνύμων λεγομένων αἰτιατῶν, τὸ δὲ ἐπὶ τῶν συνωνύμων. Οἷς δὴ καὶ πέμπτον εἶδος Συνδέσμων συγκαταλέγει, τῶν ἐκ τῶν τρόπων (§. 14,) περὶ ὧν ἐροῦμεν ἐν τοῖς ἑξῆς. Ἀλλὰ γὰρ ἡμεῖς τοὺς οὕτω δόξης ἔχοντας, δεῖξαι πρῶτον ἀξιώσαιμεν, τὸ μηδὲν ὅλως ἐπὶ τῶν κατηγορουμένων τὰ τοιαῦτα ῥήματα ἐπιῤῥεῖν· μόνην δὲ ψιλὴν, ἀπλουστάτην, εἰλικρινῆ τῶν ὅρων ἐμφαίνειν τὴν συνάφειαν, ὃ τοῦ ἐν τῇ προτάσει συνδέσμου τὸ ἔργον ἐστὶν (§. τμε. τμϛ.). Εἰς ὃ δὲ τοιοῦτοτι δειχθῆναι οὐχ οἷοντε, οὐδὲν ὡς ἐκ τοῦ προσκατηγορουμένου ΕΣΤΙ τὸν Ἀριστοτελισμὸν αἰτιασόμεθα, ὡς κώλυμα τῇ τῶν Ἐπιστημῶν ἐπιδόσει γενόμενον.



Ἐν οἷς οὐχ ὁ υἱὸς, ὁ οἶκος, ἡ πρόνοια, ἡ θερμότης, ἡ δόξα, ἐστὶν ἁπλῶς τὰ κατηγορήματα, μέρη δὲ τῶν κατηγορουμένων καὶ ἡ σχέσις, ἡ κτῆσις, τὸ ὀφειλόμενον εἶναι, τὸ αἰτιατὸν, τὸ τέλος, τὰ τοῖς ῥήμασιν ἐμφαινόμενα. Διὸ οὐδὲ τὰ ῥήματα ταῦτα συνδέσμους εἶναι ῥητέον, ὡς μέρη ἐπιδήλως τῶν προτάσεων καθιστάμενα.

§. τμζ. Οὐκ ἀεὶ δὲ ἐπὶ τῶν προτάσεων ἀμετάθετον τὴν τάξιν τῶν φωνῶν ἐπιζητεῖν χρή· ὡς ἡγεῖσθαι μὲν ἐπὶ πάσαις τῶν ὅρων τὸν ὑποκείμενον, ἐπιφέρεσθαι δὲ τὸν κατηγορούμενον, παρεμπίπτειν δὲ τούτων μεταξὺ, αἷς ἂν ἐγχωροίη, τὸν Σύνδεσμον. Τὰ πολλὰ γὰρ ἀθετεῖται ἡ τάξις, ἄλλοτε ἄλλως τῷ λόγῳ συνεπιπλεκομένων· οἷον παντὶ πέπρωται θανεῖν. Πολλῶν κακῶν ἐπικάλυμμα ἐστὶν ὁ πλοῦτος. Πρίων ψυχῆς ὁ φθόνος. Ἀλλ᾽ οὐδὲν ἔργον κἀν τούτοις διαγιγνώσκειν τὴν ἑκάστου σημασίαν, ὁπῶς ποτ᾽ ἂν θέσεως, ἢ τάξεως ἔχοιεν, ἐφιστάντας ὁποῖον τὸ ἀντὶ βάσεως τῷ λόγῳ κείμενον, καθ᾽ οὗ ἢ ἀφ᾽ οὗτι λέγεται· ὁποῖον δὲ καὶ τὸ λεγόμενον· κἀντίνι ἡ τοῦ συνδέειν τὰ ἄκρα ἔνεστι δύναμις.

§. τμή. Τέως δὲ καὶ Ἀποφάνσεις φέρονταί τινες, ἐν αἷς τὸ αὐτὸ ὑπόκειται καὶ κατηγορεῖται· ἃς ἐν τῷ ταυτολογεῖν ἐχούσας τὸ ἀναντίῤῥητον, διὰ τὸ κενῆς τερθρείας δοκεῖν ἐμπιπλᾶν τὸν λόγον, τῶν Διαλεκτικῶν τινὲς παραγράφουσιν· οἷον τὸ ζῶον ἐστὶ ζῶον· ὁ κύκλος κύκλος. Ταυτολογούσας δέ τινες τῶν Σχολαστικῶν ἐκάλεσαν, καὶ τὰς ἐπὶ Θεοῦ ταύτας, ἡ παντοδυναμία ἐστὶ σοφία, καὶ ἀνάπαλιν, οὐκ εὐλόγως οἶμαι τὰ τῇ ὑπερτάτῃ καὶ ὑπερουσίῳ Οὐσίᾳ συγχέοντες ἐπιθεωρούμενα, ὧν οὐ μίαν, οὐδὲ τὴν αὐτὴν, ἀλλ᾽ ἐννοίας φέρομεν μακρῷ διαφορωτάτας. Ταυτολογούσας δὲ, ἢ μᾶλλον ταυτοδυναμούσας αὐτοὶ καλέσομεν, ἐφ᾽ ὧν τοῦ ὁριστοῦ ὡς ὑποκειμένου κατηγορεῖται ὁ ὁρισμὸς, ἢ ἀνάπαλιν· οἷον ὁ ἄνθρωπος ἐστὶ ζῶον λογικόν. Τὸ λογικὸν ζῶον ἐστὶν ἄνθρωπος. Κεῖται γὰρ ἐν αὐταῖς συνεπτυγμένως ἐν θατέρῳ τῶν ὅρων, ὅ,τι δήποτε ἀνεπτυγμένως διὰ θατέρου ἐκφέρεται.

ΚΕΦΑ-